692 Dal racconto di Persinna: una strana nascita (2) ****

Vedi vers. 691, di cui questa è la continuazione.

Particolarità sintattiche: prop. temporale, dichiarativa, infinitiva, relativa; part. congiunto, predicativo.

Ἐπειδὴ δέ σε[1] λευκὴν ἀπέτεκον, ἀπρόσφυλον Αἰθιόπων χροιὰν ἀπαυγάζουσαν, ἐγὼ μὲν τὴν αἰτίαν ἐγνώριζον ὅτι μοι παρὰ τὴν ὁμιλίαν τὴν πρὸς τὸν ἄνδρα προσβλέψαι τὴν Ἀνδρομέδαν ἡ γραφὴ παρασχοῦσα καὶ πανταχόθεν ἐπιδείξασα γυμνὴν (ἄρτι γὰρ αὐτὴν ἀπὸ τῶν πετρῶν ὁ Περσεὺς κατῆγεν) ὁμοιοειδὲς ἐκείνῃ τὸ σπαρὲν οὐκ εὐτυχῶς ἐμόρφωσεν. Ἔγνων οὖν ἐμαυτήν τε ἀπαλλάξαι τοῦ μετ' αἰσχύνης θανάτου, πεπεισμένη τὴν σὴν χροιὰν μοιχείαν ἐμοὶ προσάψουσαν (οὐ γὰρ πιστεύσειν οὐδένα λεγούσῃ τὴν περιπέτειαν) καὶ σοὶ τὸ ἐκ τῆς τύχης ἀμφίβολον χαρίσασθαι θανάτου προδήλου ἢ πάντως ὀνόματος νόθου προτιμότερον· γενομένην τέ σε τεθνάναι παραχρῆμα πρὸς τὸν ἄνδρα πλασαμένη λάθρα καὶ ἀπορρήτως ἐξεθέμην, ὅσον πλεῖστον ἠδυνάμην πλοῦτον τῷ περισῴζοντι μισθὸν συνεκθεμένη ἄλλοις τέ σε κοσμήσασα καὶ ταινίᾳ τῇδε[2], καὶ ἐλεεινῷ διηγήματι τῷ σῷ τε κἀμαυτῆς, ἐνειλήσασα, ἣν ἀπὸ δακρύων τῶν ἐπὶ σοὶ καὶ αἵματος ἐχάραττον ὁμοῦ πρωτοτόκος καὶ πολύθρηνος γενομένη.

ELIODORO

1 σε: il riferimento è a Cariclea, figlia di Porsinna e Idaspe.
2 ταινίᾳ τῇδε: si tratta della fascia in cui Cariclea neonata è stata esposta e su cui era scritta la lettera della madre alla figlia.

Traduzione: .....